(Ἱδρυθὲν τῷ 1869 ἐν Πάτραις)

ΒΙΒΛΙΟΠΩΛΕΙΟΝ "Ο ΚΑΔΜΟΣ,,

ΑΝΔΡΕΟΥ Β. ΠΑΣΧΑ

ΕΝ ΑΘΗΝΑΙΣ

ΠΛΑΤΕΙΑ ΕΘΝΙΚΗΣ ΤΡΑΠΕΖΗΣ

ΔΙΑΔΟΧΟΙ ΑΔΕΛΦΟΙ ΤΟΥΛΑ

ΕΝ ΠΑΤΡΑΙΣ

## ΝΕΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

### ΠΡΟΣ ΧΡΗΣΙΝ ΤΩΝ ΕΚΚΛΗΣΙΩΝ

**ΕΙΣ ΜΕΓΑ ΣΧΗΜΑ**

Ἐκδοθὲν κατ' Ἀπρίλιον 1921 ὑπὸ ΑΝΔΡ. Β. ΠΑΣΧΑ, ὅμοιον τῆς Καινῆς Διαθήκης τοῦ ΟΙΚΟΥΜ. ΠΑΤΡΙΑΡΧΕΙΟΥ. Οὐδεμία ἔκδοσις ἀπὸ τῆς ἐφευρέσεως τῆς τυπογραφίας δύναται νὰ συγκριθῇ μὲ τὴν δίχρουν ταύτην ἔκδοσιν Πάσχα καὶ ὡς πρὸς τὴν φιλοκαλίαν καὶ ὡς πρὸς τὴν ὀρθότητα τοῦ κειμένου τῆς ἐκκλ. παραδόσεως, ὅπερ εἰδικὴ Πατριαρχικὴ Ἐπιτροπεία πρό τινων ἐτῶν ἀποκατέστησεν ἐκ τῶν ἀρχαιοτέρων χειρογράφων κλπ. σῳζομένων ἐν μοναῖς καὶ βιβλιοθήκαις, παραδεχθεῖσα μετὰ κοπιώδη καὶ ἐπισταμένην ἐργασίαν τὸ μᾶλλον ὀρθότερον καὶ πληρέστερον κείμενον.

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

# ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ Ε'.

(ΤΟΥ ΕΚ ΔΗΜΗΤΣΑΝΗΣ)

**ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΚΑΙ ΟΙΚ. ΠΑΤΡΙΑΡΧΟΥ**

***Τοῦ μαρτυρήσαντος ἐν ἔτει 1821 τῇ 10 Ἀπριλίου ὑπὲρ τῆς Ὀρθοδόξου ἡμῶν πίστεως καὶ τῆς τοῦ γένους ἐλευθερίας***

***Συντεθεῖσα μὲν τῷ 1822***

Ὑπὸ τοῦ ἐν μακαρίᾳ τῇ λήξει Μητροπολίτου Ζακύνθου

ΝΙΚΟΛΑΟΥ ΚΟΚΚΙΝΗ

***Ἐπιθεωρηθεῖσα δὲ καὶ διασκευασθεῖσα***

Ὑπὸ τοῦ Ἀρχιμανδρίτου

ΑΒΕΡΚΙΟΥ Λ. ΛΑΜΠΙΡΗ

τῷ 1871

ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚΔΟΣΙΣ ΑΝΔΡΕΟΥ Β. ΠΑΣΧΑ

1921

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

# ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ Ε΄.

(ΤΟΥ ΕΚ ΔΗΜΗΤΣΑΝΗΣ)

**ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΚΑΙ ΟΙΚ. ΠΑΤΡΙΑΡΧΟΥ**

*Τοῦ μαρτυρήσαντος ἐν ἔτει 1821 τῇ 10 Ἀπριλίου ὑπὲρ τῆς Ὀρθοδόξου ἡμῶν πίστεως καὶ τῆς τοῦ γένους ἐλευθερίας*

*Συντεθεῖσα μὲν τῷ 1822*

Ὑπὸ τοῦ ἐν μακαρίᾳ τῇ λήξει Μητροπολίτου Ζακύνθου

ΝΙΚΟΛΑΟΥ ΚΟΚΚΙΝΗ

*Ἐπιθεωρηθεῖσα δὲ καὶ διασκευασθεῖσα*

Ὑπὸ τοῦ Ἀρχιμανδρίτου

ΑΒΕΡΚΙΟΥ Λ. ΛΑΜΠΙΡΗ

τῷ 1871

ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚΔΟΣΙΣ ΑΝΔΡΕΟΥ Β. ΠΑΣΧΑ

1921

ΤΗι ΑΠΟΣΤΟΛΙΚΗι ΑΝΑΤΟΛΙΚΗι ΚΑΙ ΚΑΘΟΛΙΚΗι

ΑΓΙΑι ΚΑΙ ΜΕΓΑΛΗι ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΚΚΛΗΣΙΑι,

ΜΗΤΡΙ ΠΑΣΩΝ ΤΩΝ ΕΚΚΛΗΣΙΩΝ

***Θεοῦ σὺ νύμφη, τροφὲ τῶν ὀρθοδόξων,***
***δέξοιο ἀσμένως τε ἀκολουθίας***
***τὸ ἀνάθημα Πατριάρχου τοῦ θείου.***
***Ζήλῳ γὰρ αὐτὴν συνεγραψάμην θείῳ.***

Ὁ ἐλάχιστος τῶν ὑμετέρων τέκνων

Ν. Γ. Ἱερεὺς καὶ Οἰκονόμος ΚΟΚΚΙΝΗΣ

# ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ

Ἐπειδὴ τῇ 10ῃ ἱσταμένου πρόκειται ἡ Σ. Ἱερὰ Σύνοδος τῆς Ἐκκλησίας τῆς Ἑλλάδος νὰ ἀναγνωρίσῃ ὡς ἅγιον τὸν ἀοίδιμον ἐθνομάρτυρα καὶ Οἰκουμενικὸν ***Πατριάρχην Γρηγόριον τὸν Ε′***, τὸν ἐκ Δημητσάνης, φόρον τιμῆς ἀποτίνοντες εἰς τὴν πανσέβαστον μνήμην τοῦ εὐκλεοῦς ἱεράρχου ἔγνωμεν, ὅπως προβῶμεν εἰς ἀνατύπωσιν τῆς ἱερᾶς ἀκολουθίας αὐτοῦ, ἅτε τῶν δύο ἢ τριῶν ἀκολουθιῶν, αἵτινες ἐξεδόθησαν, διαρκοῦντος τοῦ ὑπὲρ ἀνεξαρτησίας ἀγῶνος καὶ μετ' αὐτόν, πρὸ πολλοῦ ἤδη ἐξαντληθεισῶν. Προετιμήσαμεν δέ, ἅτε ἀρχαιοτέραν πασῶν, τὴν ὑπὸ τοῦ Μητροπολίτου Ζακύνθου Ν. Κοκκίνη συντεθεῖσαν τῷ 1822, ἀντίτυπον τῆς ὁποίας ὁ ἀρχιμανδρίτης Ἀβέρκιος Λαμπίρης, ὁ μετὰ ταῦτα ἀρχιεπίσκοπος Πατρῶν καὶ Ἠλείας, ἔδωκεν εἰς τὸν Γ. Ν. Πιλάβιον, ὅστις ἐδημοσίευσεν αὐτὴν εἰς τὸ τέλος (σ. 279—301) τοῦ κατὰ τὸ 1871 ἐν Ἀθήναις ἐκδοθέντος πονήματος αὐτοῦ «***Τὰ κατὰ τὸν Πατριάρχην Γρηγόριον τὸν Ε′ (1821—1871)***» προτάξας αὐτῆς ἐν σελ. 278 τὰ ἑπόμενα:

«Ἡ παροῦσα ἀκολουθία, περιελθοῦσα τυχαίως εἰς χεῖρας τοῦ πανο-
» σιωτάτου ἀρχιμανδρίτου κυρίου Ἀβερκίου Λ. Λαμπίρη, ἐδόθη ἡμῖν
» προθύμως αἰτήσασιν εἰς δημοσίευσιν... Νομίζομεν δ' ὅτι διὰ τῆς
» δημοσιεύσεως τῆς παρούσης ἀκολουθίας... τὸ καταλαβὸν κατὰ τὴν
» μεγάλην ἐκείνην ἐποχὴν αἴσθημα τὸ ἔθνος ὅλον διὰ τὴν πολύτιμον
» ἐλευθερίαν του καταφανέστερον γίνεται. Ἔτι δὲ πασιφανῶς δεικνύει
» αὕτη πῶς εὐθὺς ἐξ ὑπαρχῆς ἐθεωρήθη καὶ ἐπιστεύθη ἡ μεγάλη τοῦ
» περικλεοῦς Πατριάρχου θυσία, ἐκ διττῆς δηλαδὴ ἀφορμῆς, θρησκευτι-
» κῆς τε καὶ πολιτικῆς, ὡς ἐκ τῶν ὑστέρων τοῦτ' αὐτὸ ἐκυρώθη».

Ἐν Ἀθήναις τῇ 2ᾳ Ἀπριλίου 1921.

***Ὁ ἐκδότης***
**ΑΝΔΡ. Β. ΠΑΣΧΑΣ**
**(ἐκ Δημητσάνης)**

# ΑΚΟΛΟΥΘΙΑ

τοῦ ἁγίου καὶ ἐνδόξου ἱερομάρτυρος

# ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ Ε΄

**Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως καὶ Οἰκουμενικοῦ Πατριάρχου**

Τοῦ μαρτυρήσαντος ὑπὲρ τῆς Ὀρθοδόξου Πίστεως καὶ τῆς τοῦ Γένους ἐλευθερίας.

***[Εἰς τὸ λυχνικόν].*** ***[Εἰ ἔστιν ἀγρυπνία]***

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

***Ἱστῶμεν στίχ. δ΄.***

***Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.***

Δεῦτε τῶν εὐσεβῶν, οἱ παῖδες εὐφρανθῶμεν, ἐν τῇ τοῦ Ποιμενάρχου, μνήμῃ τῇ Πανενδόξῳ, δόξαν Θεῷ προσφέροντες.

Τέρπου ἡ Ὀδησσός, ἐγκεκτημένη σκῆνος, τοῦ Θείου Γρηγορίου, ὃ ἔπεμψε πανσόφως, πρὸς σὲ ἡ θεία Πρόνοια.

Γένη τὰ μιαρά, Ἑβραίων καὶ τῆς Ἄγαρ, ἐν Ὀδησσῷ τὴν δόξαν, τοῦ Θείου Πατριάρχου, ἴδετε καὶ αἰσχύνθητε.

Ἵστασο πρὸς Θεόν, πρέσβυς, ὦ Πατριάρχα, ἵνα τὸ γένος σώζῃ, Ἑλλάδος δι᾿ ὃ θῦμα, ὑπὸ ἀνόμων γέγονας.

***Δόξα. Ἦχος α΄.***

Ὢ τῆς γενναίας καὶ ἀδαμαντίνου σου ψυχῆς, ἀξιομακάριστε Γρηγόριε! Σὺ γὰρ πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἀνένδοτον ἔχων τὴν ἀγάπην ἔλεγες· οὐκ ἔστι μοι ἄνεσις, ἕως ἴδω τὸ ἑλληνικὸν ἡμῶν ἔθνος ἐκ τῆς δουλείας ἐλεύθερον, ὅθεν Θείῳ Πνεύματι πυρπολούμενος, τοὺς δυσσεβεῖς

Ἀγαρηνοὺς ἠρέθισας, κόσμου σε θᾶττον χωρίσαι καὶ πρὸς τὸν ποθούμενον παραπέμψαι Χριστόν, ὃν ἱκέτευε λυτρωθῆναι ἐκ τῆς δουλείας ἅπαν τὸ ἔθνος ἡμῶν.

Καὶ νῦν τῆς ἑορτῆς. Φῶς ἱλαρόν.

### *Εἰς τὸν στίχον στιχηρὰ προσόμοια τῆς ἑορτῆς.*

***Δόξα. Ἦχος Πλ. δ΄.***

Ἱερομάρτυς Γρηγόριε, τὸν Δεσπότην Χριστὸν ἐνδυσάμενος, μισθὸν ἐκομίσω τῆς ἱερουργίας τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ, τὸ τελειωθῆναι δι᾿ αἵματος, δι᾿ ὃ θῦμα γενόμενος τοῦ Οὐρανίου Πατρός, διὰ χειρὸς ἀνόμων Ἀγαρηνῶν ἐκτάνθης, Ἱερώτατε, καὶ μάρτυς σεπτὸς ὑπὲρ πίστεως καὶ τοῦ ἔθνους ἐδείχθης, πρέσβευε ὑπὲρ ἡμῶν ἀθλητὰ μακάριε.

Καὶ νῦν τῆς ἑορτῆς. Νῦν ἀπολύεις.

Τρισάγιον, ὅτι Σοῦ, τὸ ἀπολυτίκιον τοῦ ἁγίου καὶ τῆς ἑορτῆς, καὶ ἀπόλυσις τοῦ μικροῦ ἑσπερινοῦ.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΛΟΝ ΕΣΠΕΡΙΝΟΝ

***Τὸ Μακάριος ἀνήρ.***

***Εἰς τὸ Κύριε, ἐκέκραξα, ἱστῶμεν στίχ. Η΄, δ΄ τῆς ἑορτῆς καὶ δ΄ τοῦ ἁγίου.***

***Τοῦ Ἁγίου. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.***

Παρανομίας ὁ ἄναξ, σοφὲ Γρηγόριε, εἰς ὄνειδος ἀγχόνην, κατὰ σοῦ ἑτοιμάζει, ὁ δὲ τῆς εὐσεβείας θεοφιλὴς αὐτοκράτωρ εἰς Ὀδησσόν, μετὰ μεγάλης τε δόξης καὶ προπομπῆς, ὡς εἰκός, ἐνταφιάζει σε. (Δίς).

Εἰ καὶ Ἑβραίοις ἐδόθης, ἱερομάρτυς Χριστοῦ, καὶ κατὰ γῆς ἐσύρθης, δι᾿ ἀγάπην τοῦ γένους, οἰκεῖς ἐν τοῖς ὑψίστοις χαρμονικῶς, Χερουβὶμ ἀναμέσον τε, τὸν ἐπινίκιον ὕμνον τῷ Ποιητῇ, καὶ Θεῷ ἀναπεμπόμενος.

Στῖφη πιστῶν, ἀθροισθέντα πανηγυρίσωμεν ἡμέραν τὴν ἁγίαν, ἐν ᾗ



γέγονε θῦμα, ὁ θεῖος Πατριάρχης ὑπὲρ ἡμῶν, νέας Ῥώμης Γρηγόριος, καὶ τῷ Δεσπότῃ τῶν ὅλων λαμπρᾷ φωνῇ, εὐπρεπῶς εὐχαριστήσωμεν.

***Δόξα καὶ νῦν. Ἦχος α΄.***

Ὁμοφρόνῳ πνεύματι, πάντοθεν οἱ χριστοφόρων Ὀρθόδοξοι, ἐν Ὀδησσῷ γηθοσύνως ἀγόμενοι.

***Πλ. α΄.*** Γονυπετοῦντες, τὸ σεβάσμιον καὶ διάσημόν σου σκῆνος, αἰσίως ἀσπάζονται.

Β΄. Αἱ δὲ ὑπέρτατοι τῶν οὐρανῶν δυνάμεις, σὺν τῷ ἰδίῳ Δεσπότῃ προπορευόμεναι.

***Πλ. β΄.*** Τρανῶς τῷ ὄχλῳ τῷ ἑπομένῳ κραυγάζουσι, τί οὕτω σεσίγηται ἡ γλῶσσα πάντων ὑμῶν, ὦ θεόφρονες, καὶ παρρησίᾳ, οὐ κράζει μεγαλοφώνως προσφθεγγομένη ; Ἰδοὺ ὁ ὑπέρμαχος Ἑλλάδος παραγίνεται.

Γ΄. Ἄρατε χεῖρας, καὶ πάντες εὐχαριστίας ἀποδώσατε, πρὸς τὸν ἀρχιθύτην ὑμῶν πατέρα.

***Βαρύς.*** Διὰ τούτου γὰρ ἡ ποθητὴ ἡμῶν τῶν Ἑλλήνων σωτηρία γέγονεν, ὃν εὐφημῆσαι οὐκ ἰσχύομεν, καὶ ὄντως ἄξιον ὕμνον ἀπονέμειν οὐ ῥᾴδιον.

Δ΄. Τούτου γὰρ ἡ πολιτεία ὑπερβαίνει πᾶν ἐγκώμιον.

***Πλ. δ.*** Διὸ πάνσεπτε Ἱεράρχα, ἀεὶ σὺν τῇ Παρθένῳ καὶ μητρὶ τοῦ Θεανθρώπου, πρέσβευε διὰ παντός, τῷ ἐν ὑψίστοις Δεσπότῃ, ἵνα σώζῃ ἀβλαβὲς ἐκ τυράννων τὸ πιστὸν γένος σου· σὲ γὰρ πάντες προστάτην προσφέρομεν.

***Α.*** Ἀκαταπαύστως καὶ ἀγλαοφανῶς μεγαλύνοντες.

***Εἴσοδος, τὸ φῶς Ἱλαρόν.***

Προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα πρῶτον τοῦ Ἁ. Ι. τοῦ Χρυσοστόμου

### ***Παροιμιῶν τὸ Ἀνάγνωσμα. Κεφ. ι΄, 8.***

Μνήμη δικαίου μετ᾿ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητός, ὃς εἶδε φρόνη-

σιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν. Πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ.

Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γαρ ἐρῶ· καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐημι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ· οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου· ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος.

δεύτερον

***Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. Κεφ. δ', 14.***

Ἐγκωμιαζομένου δικαίου, εὐφρανθήσονται λαοί.

τρίτον τοῦ ἁγίου Γεωργίου.

***Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.***

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν.

## Εἰς τὴν λιτήν, στιχ. Ἰδιόμελα.

***Ἦχος Β'.***

Διὰ τὸ ἔθνος Ἑλλήνων ὁ Πατριάρχης Γρηγόριος, βασιλεῖ παρανόμῳ παρίσταται σήμερον· μή, ὦ εὐσεβεῖς, ταραχθήσεσθε, τούτου γὰρ ὁ θάνατος, ἐκ ζυγοῦ μέλλει ἐκλυτρώσασθαι τοὺς πιστούς, ἵνα πρὸς τὴν εὔκλειαν τὴν ἀρχαίαν πάλιν ἀνέλθωσι.



***Ἦχος Γ'.***

Σήμερον κτίσις ὁρᾷ, πρᾶγμα φρικτὸν καὶ ἀνήκουστον. Ὃν γὰρ ὡς Χριστοῦ Ἐκκλησίας, κοινὸν ποιμένα ἐσέβετο, τοῦτον Ἰσμαὴλ ἐν ἀγχόνῃ ἐκρέμασε· Κύριε, ἐπίβλεψον ἄνωθεν, καὶ μὴ ἀνεχόμενος τὸ ὄνειδος, κατ' αὐτοῦ διπλᾶ ἀνταπόδοσον.

***Ἦχος Δ'.***

Γένος τὸ παμμίαρον, ἐπὶ Νέας Ῥώμης, τὰς ῥύμας, ὁρᾶται σῦρον σῶμα σεβάσμιον· ὅμως ὅπερ πράττουσι πρὸς αὐτό, αἰσχύνην οὐ φέρουσιν, ὡς ὁ πανταχοῦ ἐκτεινόμενος Ἥλιος ῥύπον οὐ δέχεται, ἀλλ' ἐπὶ τὰ ἔθνη δεικνύουσιν οἵων δυσσεβῶν τέκνα πέλουσι.

***Δόξα. Ἦχος πλ. α'.***

Δεῦτε πιστοὶ ἐκπληττόμενοι ἴδωμεν τὰ τῆς παντοδυνάμου χειρὸς μεγαλεῖα, ὃν γὰρ ἐν μυχοῖς θαλαττίοις, παράνομοι ἔρριψαν, πρὸς τὴν Ὀδησσὸν εὐοδεῖ, παραδόξως ἐκπέμπων ὁ κτίστης τῆς κτίσεως, κἀκεῖσε τοῦτον δεχόμενοι οἱ εὐσεβεῖς Ῥῶσσοι, αἰσίως κηδεύουσιν, ἀπονέμοντες δόξαν τῷ ποιητῇ, τῷ θησαυροῦ τοιούτου, αὐτοὺς ἀξίους ποιήσαντι.

Καὶ νῦν τῆς ἑορτῆς.

## Εἰς τὸν στιχ. Προσόμοια, Ἦχος, πλ. α'.

***Χαίροις ἀσκητικῶν.***

Χαίροις, ἀρχιερεῦ τοῦ Χριστοῦ, ποιμένων πάντων ὁ ποιμὴν ὁ πιστότατος, ὁ χαίρων καὶ ἑκουσίως ὑπὲρ προβάτων τιθεὶς τὴν ψυχήν, ὡς λέγει, ὁ Θεάνθρωπος, Γραικῶν χαίροις καύχημα, εὐσεβείας ἀγλάϊσμα, τῆς ἐκκλησίας ὁ φωστὴρ καὶ πανθαύμαστος, ὁ πρὸς ἅπασαν, σφαῖραν γῆς ἐκχυνόμενος, μάρτυς ὁ πολυώδυνος, βροτὸς ὁ ἀσώματος, ὁ ἐν τῷ κόσμῳ βιώσας, καὶ δείξας βίον ἰσάγγελον τοῦ σώσαντος χαίροις, ἐκ δουλείας τὴν Ἑλλάδα, λύχνος ὁ ἄσβεστος.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν.

Τέρπου ἐνδεδυμένη λαμπρῶς, ὦ θεία πόλις, Κωνσταντίνου τὴν σήμερον, ἡ ὄντως ἀξιωθεῖσα, μετὰ αἰῶνας πολλοὺς ἐπὶ θρόνου πάλιν τοῦ χηρεύοντος, λαβεῖν τὸν ὑπέρμαχον, εὐσεβείας Γρηγόριον, δι' οὗ Ἑλλάς τε, τὰς ἁλύσεις ἀπέρριψε, καὶ τὸ ἄθεον Ἄγαρ γένος κατήσχυνεν, ἅπασι χλευαζόμενον, ἐν γῇ κυλινδούμενον, θρηνολογοῦν ἀενάως, εἰς ἀκροτάτην ἀπόγνωσιν, ἧς ἡμᾶς ῥῦσαι, Θεέ μου, τοὺς ἐν πίστει προσκυνοῦντας τὸ θεῖον κράτος σου.

Στίχ. Οἱ Ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην.

Ἀρόν σου τὴν φωνήν, ὦ πατρίς, τοῦ Γρηγορίου καυχωμένη καὶ κήρυξον εἰς πᾶσαν τὴν Οἰκουμένην τὰς ὑπὲρ νοῦν ἀρετάς, τοῦ χρυσαυγεστάτου θείου γόνου σου, ἐν αἷς ὑπὲρ ἄνθρωπον, ἐπὶ γῆς πεπολίτευται, καταλαμπρύνας τῆς σαρκὸς τὴν εὐτέλειαν, καὶ τὸν ἔνδοθεν, οὐχ ὁρώμενον ἄνθρωπον, ὅλον ἀναδειξάμενος, πυρσοῖς ἐξαστράπτοντα πρόσω πολλῶν σεβασμίων, ἐν τοῖς σπινθῆρσιν ὡς Ἥλιος, εἰς δόξαν τὴν θείαν, ἀενάως ἐντρυφῶντα τὴν ἀνεκλάλητον.

***Δόξα, πλ. δ'.***

Ὅτε παρέστης τῷ παρανόμῳ βασιλεῖ, καὶ παρεδόθης τῇ ἀγχόνῃ παρ' αὐτοῦ, αἱ οὐράνιαι δυνάμεις τοὺς στεφάνους σοὶ ἔπλεκον. Ὅτε δὲ ἐσύρθης ἐπὶ τῆς γῆς ὑπὸ Ἰουδαίων τῶν δυσσεβῶν, ἀοράτως τούτους τῇ κορυφῇ σου ἐτίθουν, ἐκβοῶσαι ἀλλήλαις, δόξα Θεῷ τῷ σέ, ἱεράρχα, ἐνισχύσαντι.

***Καὶ νῦν τῆς ἑορτῆς. Πλ. α'.***

Ἀναστάσεως ἡμέρα.

***Ἀπολυτίκιον*** τῆς ἑορτῆς.

***Δόξα· τοῦ Ἁγίου Ἀπολυτίκιον, Ἦχος πλ. δ'.***

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τὸν θεῖον Πατριάρχην ἐνισχύσας, καταπέμψας αὐτῷ τὴν χάριν σου ἄνωθεν, καὶ δι' αὐτοῦ Ἑλλήνων γένος ἀνυψώσας πρὸς προγόνων τὴν εὔκλειαν.

Καὶ νῦν τῆς ἑορτῆς ἢ Ὁ δι' ἡμᾶς γεννηθείς.



## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

***Μετὰ τὸ Θεὸς Κύριος ἀπολυτίκιον τὸ ἀναστάσιμον, τοῦ ἁγίου δίς.***

Καὶ νῦν Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου.

Μετὰ τὴν Α' Στιχ.

***Κάθισμα, Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.***

Δεῦτε σήμερον πιστοί, ᾄσωμεν δόξαν τῷ Θεῷ, τῷ ἐκλυτρώσαντι ἡμᾶς, ἀπὸ ζυγοῦ Ἀγαρηνῶν, καὶ πρὸς τὴν δόξαν εἰσάξαντι τὴν τῶν προγόνων, ἣν ἀναλαβεῖν Ἑλλήνων γένος τε ποθῶν ὁ θεῖος Γρηγόριος ἀναρτηθῆναι σήμερον ὑπέμεινεν, ἐπὶ ἀγχόνης ὡς ἔνοχος, ὅνπερ ἡ πᾶσα Ἑλλὰς ὀφείλει ὑμνεῖν ἀκαταπαύστως.

Δόξα τὸ αὐτό, καὶ νῦν τῆς ἑορτῆς.

Μετὰ τὴν δευτέραν Στιχ.

***Ἦχος πλ. δ'. Τὸ προσταχθὲν μυστικῶς.***

Προετοιμάζου, Ὀδησσός, ὑποδεχθῆναι τὸν Πατριάρχην, ὃν πρὸς σὲ Θεὸς ἐκπέμπει· ὅτι τούτου γνήσιος ὀπαδὸς ὑπάρχει, ἐκ βρέφους μέχρι ἐσχάτης ἀναπνοῆς, τὰ ἴχνη τῆς εὐσεβείας ἀκολουθῶν, οὗ τὸν βίον ἐθαύμασαν καὶ ἀσωμάτων χοροί, ἐκπληττόμενοι κράζοντες· ὄντως σκεῦος τοῦ Πνεύματος.

Δόξα τὸ αὐτό, καὶ νῦν τῆς ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον.

***Ἦχος Πλ. δ' Τὴν σοφίαν καὶ λόγον.***

Μαινομένων τὸ πάλαι Ἀγαρηνῶν ἐναντίον Ἑλλήνων τῶν εὐσεβῶν, γενναίως ἐκραύγαζεν ὁ θεόφρων Γρηγόριος· Ὁμογενεῖς θαρσεῖτε καὶ μὴ δειλιάσητε, τῶν δυσσεβῶν τὰ τέκνα, ἡμᾶς κἂν διώκωσιν, ὁ γὰρ Παντοκράτωρ, ἐν ὑψίστοις καλάμῳ ἀποφάσεως ἔγραψεν, ἐκ ζυγοῦ τὸ Ὀρθόδοξον αὐτοῦ γένος λυτρώσασθαι, ἵνα ἴδῃ τὰ σύμπαντα, τὴν ἀκατα-

μάχητον τούτου δύναμιν, καὶ πιστεύσῃ ὡς μόνον αὐτὸν Παντοδύναμον.

Δόξα τὸ αὐτό, καὶ νῦν τῆς ἑορτῆς.

***Οἱ ἀναβαθμοὶ τὸ α' ἀντίφωνον τοῦ Δ' ἤχου.***

Προκείμενον καὶ Εὐαγγέλιον τοῦ Χρυσοστόμου τῇ 13 Νοεμβρίου. Ἀνάστασιν Χριστοῦ θεασάμενοι. Ὁ Ν' ψαλμὸς καὶ τὸ ἰδιόμελον ἦχος Β' ζήτει εἰς τὴν λιτήν. Διὰ τὸ γένος Ἑλλήνων.

Ὁ κανὼν τοῦ πάσχα. Ἀναστάσεως ἡμέρα εἰς Ϛ' διπλοῦντες αὐτά.

***Ὁ κανὼν τοῦ ἁγίου εἰς Ϛ' διπλοῦντες αὐτά.***

***Ὠδὴ α'. Ἦχος α'. Ὠδὴν ἐπινίκιον ᾄσωμεν πάντες.***

Συνάχθητε σήμερον ἐκ τῶν περάτων Ἑλλάδος οἱ γνήσιοι, καὶ πανηγυρίσατε, περιχαρῶς σὺν ἡμῖν, ἐν τῇ πανσέπτῳ ἑορτῇ τοῦ Πατριάρχου ἡμῶν.

Σέ, Θεῖε Γρηγόριε, Ἑλλὰς ἡ πᾶσα, γνωρίζει ὑπέρμαχον καὶ σωτῆρα, κράζουσα, ὅτι ἐρρύσω αὐτήν, θυσιασθεὶς ὑπὲρ ἡμῶν, ἐκ τυραννίδος ζυγοῦ.

Πατρὶς Ἐρύμανθος τοῦ Πατριάρχου, μεγάλως εὐφράνθητι ἐπὶ τὴν πανένδοξον μνήμην γόνου τοῦ σοῦ· εἰς γὰρ τὴν ὑφήλιον δι' αὐτοῦ, νῦν μακαρία σὺ εἶ.

***Θεοτοκίον.***

Τὸ φῶς ἡ κυήσασα τὸν λυτρωτήν μου, τοῦ σκότους με λύτρωσαι, καὶ βασάνων, ἄχραντε, τῶν αἰωνίων, ἐκεῖ ὅπως σῳζόμενος ὑμνῶ τὰ μεγαλεῖά σου.

Καταβασίαι. Ἀναστάσεως ἡμέρα.

***Ὠδὴ γ'. Στερεωθήτω ἡ καρδία μου.***

Σμύρνη καὶ Πάτμος σὺν τῷ Ἄθωνι πανταχοῦ ὑμεῖς ἐκφωνήσατε, τὰς ἀνεκφράστους ἀρετάς, δι' ὧν ἔλαμψεν, ὡς ἄλλος παμφαέστατος Ἥλιος.

Ἐνδεδυμένος ὁ Γρηγόριος τῶν πατριαρχῶν τὸ πανάγιον ἄμφιον, ὡς ὁ Ἀαρὼν τῷ Θεῷ εὐηρέστησε, πληρωτὴς Εὐαγγελίου δειχθεὶς ἀκραιφνέστατος.



Αἱ τρεῖς ἐν θρόνῳ ἀναβάσεις σου, Θεῖε Ποιμενάρχα, εἰκόνιζον, ὄντως τὴν σὺν προφητικῶς τριήμερον ἀνάρτησιν, δι' ἧς γένος τῶν Ἑλλήνων τὸν ζυγὸν ἀπετίναξε.

***Θεοτοκίον.***

Τὸ ἀπαραίτητον κριτήριον, καὶ τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον, καὶ τὴν ἀπόφασιν ἁγνή, τὴν φρικτὴν ὅλως δέδοικα· σπεῦσον σῶσον πρὸ τοῦ τέλους, ἀγαθή, τὸν οἰκέτην σου.

Δεῦτε πόμα πίωμεν.

***Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου Σωτὴρ.***

Ἐπέλαμψεν ἰδού, ἡ ἁγία ἡμέρα τῆς θείας ἑορτῆς, τοῦ σοφοῦ Πατριάρχου, ἡρώων ἀπόγονοι, εὐσεβέστατοι Ἕλληνες, ταύτην σήμερον, περιχαρῶς ὁμοῦ πάντες ἑορτάσωμεν, τῆς γὰρ ἡμῶν σωτηρίας ἡ πρόξενος γέγονε.

Δόξα τὸ αὐτό, καὶ νῦν τῆς ἑορτῆς.

***Ὠδὴ δ'. Ἐν πνεύματι προβλέπων.***

Ἀγάλλου, νέα Ῥώμη, καὶ σὺ νῦν μεθ' ὑμῶν, ὁ γὰρ καταλαμπρύνας θρόνον Πατριαρχῶν, ἐν ταῖς τοῦ Κτίστου θείαις αὐλαῖς χοροστατῶν ἡμᾶς νῦν περισκέπει ἐξ ὁρατῶν ἐχθρῶν.

Μετὰ τῶν κορυφαίων, συνόδου τε τῆς σῆς, τῶν συναθλησάντων σοι, Γρηγόριε σοφέ, τὸν ἐν ὑψίστοις καθικέτευε Δεσπότην, ὑπὲρ τῶν πίστει ἐκτελούντων τὴν ἀοίδιμον μνήμην σου.

Οἱ ἄγγελοι τὸ πνεῦμα κατέχοντες τὸ σόν, σήμερον χορεύουσιν, ἐν τοῖς οὐρανοῖς· ἡ δὲ χορεία τῶν ὀρθοδόξων κεκτημένη, τὸ ἱερόν σου ἐν Ὀδησσῷ θεῖον σκῆνος, στέμμασιν ἐπαίνων, λαμπρῶς εὐφημεῖ.

***Θεοτοκίον.***

Παρθένε, Παναγία ἀμόλυντε, σκηνή, μολυνθέντα πταίσμασι καθάρισόν με νῦν, τῶν οἰκτιρμῶν σου ῥανίσι καθαρωτάταις· καὶ δός μοι χεῖρα βοηθείας, ἵνα κράζω· δόξα σοι, ἁγνὴ Θεοδόξαστε.

Ἐπὶ τῆς θείας φυλακῆς.

*Ὠδὴ Ε'. Τὸ φαεινὸν ἡμῖν.*

Εὐφρανθῶμεν οἱ ὀρθόδοξοι ἅπαντες σήμερον, ὁ Πατριάρχης γὰρ ἡμῶν κατῄσχυνεν υἱῶν τῆς Ἄγαρ φρύαγμα τὸ ἄθεον, θυσία γενόμενος.

Ποιμὴν πιστότατος Γρηγόριος, τοῦ ἀρχιποίμενος ἐνδέδεικται κληρωσάμενος σήμερον τῶν πρωτοτόκων οἰκήματα.

Τὸν διαπρύσιον ποιμένα τε πέμπτον Γρηγόριον τὸν τὴν Ἑλλάδα λυτρωσάμενον ἐκ τυραννίδος, σήμερον, φιλέορτοι, φαιδρῶς μακαρίσωμεν.

*Θεοτοκίον.*

Λιμένα εὔδιον καὶ ἀπόρθητον, τεῖχος κεκτήμεθα τὴν πρεσβείαν σου ἐν περιστάσεσι, Θεοκυῆτορ, πάντοτε λυτρούμενοι κινδύνων καὶ θλίψεων.

Ὀρθρίσωμεν ὄρθου βαθέος.

*Ὠδὴ ς'. Τὸν προφήτην Ἰωνᾶν.*

Ἐν ἀγχόνῃ κρεμασθείς, ὁ σοφώτατος ποιμήν, τῆς Ἑλλάδος τὸν ζυγὸν ἀπετίναξε χαμαὶ καὶ ἔφερεν εἰς τὴν ἀρχαίαν δόξαν τὸ ἔθνος αὐτοῦ.

Ἰουδαίων δυσσεβῶν οἱ παράνομοι λαοί, εἰ καὶ σύρουσιν ἐν γῇ, Πατριάρχην τὸν κλεινόν, δεικνύουσιν, οἵους ἀνόμους ἔσχον προπάτορας.

Βασιλεὺς θεοφιλής, ἐν τῇ πόλει Ὀδησσῷ νῦν κηδεύει, ὡς εἰκός, τὸν ὑπέρμαχον πιστῶν, ἀποδιδοὺς δόξαν τῷ Κτίστῃ καὶ Τρισηλίῳ Θεῷ.

*Θεοτοκίον.*

Ἐκ παντοίων πειρασμῶν, καὶ κινδύνων ψυχικῶν, ἐλευθέρωσον ἡμᾶς, τοὺς προστρέχοντας εἰς σέ, Πανύμνητε, ταῖς σαῖς πρεσβείαις, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

Κατῆλθες ἐν τοῖς κατωτάτοις.

***Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.***

Ἀθροισθέντες ἅπαντες, γνήσιοι παῖδες τῆς Ἑλλάδος, σήμερον ἐν τῇ πόλει Ὀδησσῷ, τὸν Πατριάρχην Γρηγόριον, ᾄσμασι θείοις, λαμπρῶς ἑορτάσωμεν.



*Ὁ οἶκος.*

Τὴν τῶν προγόνων ἐκποθῶν δόξαν ὁ Πατριάρχης ἀναλαβεῖν τὸ γένος αὖθις τὸ τῆς Ἑλλάδος, ἐν τῇ ἀγχόνῃ ὑπέμεινεν ἀναρτηθῆναι ὑπὸ γένους δυσσεβοῦς, ὁ ἀθῷος ὡς ἔνοχος. Τοῦτον οὖν αὐτοκράτωρ δεξάμενος, ὁ εὐσεβείας κλάδος, ἐν πόλει ἐπαξίως τῆς Ὀδησσοῦ ἐνταφιάζει. Ὅθεν οἱ δι' αὐτοῦ Ἕλληνες λυτρωθέντες ἀπὸ ζυγοῦ τοῦ σκληροῦ, σήμερον πάντες, ἐν τῇ ἑορτῇ, τῇ αὐτοῦ συναχθέντες, ᾄσμασι θείοις, λαμπρῶς ἑορτάσωμεν.

Μηνὶ ἀπριλίου Ι' μνήμην ἐπιτελοῦμεν τοῦ ἁγίου καὶ ἐνδόξου Ἱερομάρτυρος Γρηγορίου τοῦ Ε', Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως καὶ Οἰκουμενικοῦ Πατριάρχου, τοῦ μαρτυρήσαντος ὑπὲρ τῆς Ὀρθοδόξου ἡμῶν πίστεως καὶ τῆς τοῦ Γένους ἐλευθερίας.

Ἐν ἀγχόνῃ κἂν τέθνηκας, Πατριάρχα,
Ὅμως γε ἀεὶ ζῇς ἐν Ἐδὲμ τῇ θείᾳ,
Τῇ δεκάτῃ Πατριάρχης θῦμα γέγον' ἕνεκα γένους.

Ὁ λαμπρὸς οὗτος εὐσεβείας τε κλάδος
Πατρίδα ἔσχε Πελοποννήσου γαῖαν.
Ὑπ' εὐσεβῶν δὲ γονέων, φυείς, ὄντως
Χριστοῦ μαθητὴς γνησιώτατος ὤφθη,
Καὶ ἀνατραφεὶς τῷ φόβῳ τοῦ Κυρίου
Ἐνηγκάλισεν εὐσεβεῖς τε μαθήσεις.
Σμύρνη τὸ λοιπὸν τὴν σοφίαν ὁρῶσα
Καὶ βίον αὐτοῦ ἀγγελικὸν καὶ θεῖον,
Μητροπολίτην τοῦτον αὐτῆς ἐκλέγει
ἀρετὰς οἵας, καὶ ἀγαθοεργίας,
ἃς ἐκεῖ ἔπραξε, λεξάτω μόνη αὕτη,
ἀμήχανον γὰρ ἕτερόν τε κηρῦξαι.
Μετὰ δὲ ταῦτα ὁ θρόνος χηρεύων
τῶν Πατριαρχῶν Μεγάλης Ἐκκλησίας,
τουτονὶ καλεῖ ποιμένα καὶ ψηφίζει
πλῆθος ἱδρώτων ὑπὲρ Ὀρθοδοξίας
καθημέραν ἔχυνεν ἀμέτρῳ μόχθῳ,
ἵνα τὸ αὐτοῦ Ποίμνιον στερεώνῃ
ἐπὶ διδαχὰς τὰς σεπτὰς τοῦ Δεσπότου.

Δὶς ἀπεβλήθη τοῦ θρόνου ἀναιτίως
ὑπ' Ἀγαρηνῶν δυσσεβῶν ἐξουσίας,
καὶ ἐπ' Ἄθωνος τὸ ὄρος τε ἀπῆλθε,
κἀκεῖ μονάσας, ἀνεκλήθη δίς τε
ἐπανακάμψαι, ἵνα λάβῃ τὸν θρόνον.
Ἐν τῇ τρίτῃ δ' οὖν Πατριαρχίᾳ τούτου,
καὶ ὁ κλονισμὸς συνέβη τῆς Ἑλλάδος·
τέθ' ὁ κλεινὸς καὶ γέρων Πατριάρχης,
τὰ καθ' ἑαυτοῦ ἀριδήλως προβλέπων,
δειλίας ἄνευ, θάνατον διὰ γένος,
καρτεροθύμως τοῦ λαβεῖν ὑποφέρει
καὶ τοὺς σὺν αὐτῷ Ἱερεῖς καὶ Ποιμένας
ἀρξάμενός τε εἶναι πιστοὺς διδάσκει·
Ἦλθε τὸ λοιπὸν ἡ ἁγία ἡμέρα,
Ἐν ᾗ Ἰησοῦς ἐξανέστη τοῦ τάφου,
καὶ ὁ βασιλεὺς δυσσεβῶν Ἀσσυρίων
ὁρῶν κατ' αὐτοῦ τοὺς λαοὺς Ὀρθοδόξων
ἐφιεμένους τὸν ζυγὸν ἀπορρῖψαι
τὸν Πατριάρχην ἀγχόνης κρεμᾷ ἔπι,
τρεῖς δ' αὐτὸν ἀφεὶς ἡμέρας ἐν τῷ ξύλῳ
τοῖς ἀχαρίστοις ἐκδίδωσιν Ἑβραίοις.
Ὅθεν λαβόντες αὐτὸν οἱ αἱμοβόροι,
καὶ τοὺς σὺν αὐτῷ συγκρεμασθέντας τρεῖς τε
ἔνθεν καὶ ἔνθεν κορυφαίους Συνόδου,
πρῶτον σύρουσιν ἐπὶ πάσας τὰς ῥύμας
πάσης Πόλιος, μετέπειτα δ' ἔνδον
ῥίπτουσιν αὐτὸν ἐν μυχοῖς θαλαττίοις·
τότε καὶ ἡ πάνσοφος οἰκονομία
τοῦ Παντάνακτος, ἀβλαβῆ διασῴζει
εἰς χεῖρας αὐτὸν εὐσεβεῖς πεμπομένη.
Ὁ Πατριάρχης εὐοδούμενος τοίνυν
πρὸς τὸ ἄσυλον καταφεύγει τῶν Ῥώσσων
κἀκεῖσε τοῦτον ὁ ἄναξ εὐσεβείας
θεοσεβέστατος Παυλίδης τε ὁ ἔμφρων·
δεχθεὶς πρεπόντως ἐν Ὀδησσῷ κηδεύει,
οὗ ἱκεσίαις, Χριστέ, τοὺς πιστοὺς φρούρει,



***Ὠδὴ Ζ'. Ἡ κάμινος Σωτήρ.***

Παρίσταντο οἱ ἄγγελοι ἄνωθεν, χορεύοντες, θεόφρων Γρηγόριε, ὅτε καρτεροθύμως, ἐν τῇ ἀγχόνῃ ἐκρέμασο.

Αἱ τάξεις τῶν μαρτύρων ἠγάλλοντο, ὁρῶσαι ἐν ὑψίστοις ἐρχόμενον, μετὰ θριάμβου τὸ πνεῦμά σου, παμμάκαρ Γρηγόριε.

Ὁ θεῖος Πατριάρχης, ἐκραύγαζον, οἱ ἐν οὐρανοῖς, νῦν ἀνέρχεται, ἄρατε οὖν τὰς πύλας, καὶ τοῦτον πάντες δεξώμεθα.

***Θεοτοκίον.***

Ἱκέτευε, ὃν ἔτεκες Κύριον, ὡς εὔσπλαγχνον· τῇ φύσει ὑπάρχοντα, Θεογεννῆτορ, σῶσαι τὰς ψυχὰς τῶν ὑμνούντων σε.

Ὁ παῖδας ἐκ καμίνου.

***Ὠδὴ Η'. Ὃν φρίττουσιν ἄγγελοι.***

Τὴν πόλιν, ὦ Ἕλληνες, νυνὶ τῆς Ὀδησσοῦ, κοινῶς περιέλθωμεν, ὅπως σὺν τοῖς ἐκεῖ, ἐν τῇ τοῦ Ποιμενάρχου, πανσέπτῳ ἑορτῇ, λίαν εὐφρανθῶμεν, Θεῷ εὐχαριστοῦντες.

Ζωὴν βιωσάμενος, ἐν γῇ ἀγγελικὴν ὁ θεῖος Γρηγόριος, οἰκεῖ ἐν οὐρανοῖς καὶ ἐντρυφᾷ δόξαν, ὄντως ἀψευδῆ, ἐστεφανωμένος, ἀειθαλεῖ στεφάνῳ.

Ὃν σκῆνος ἐκήδευσεν εἰκότως τὸ σὸν θεῖον αὐτοκράτορα, ἐν πόλει Ὀδησσῷ, πρεσβείαις σαῖς φρούρει, Γρηγόριε σοφέ, ὅτι τῆς Ἑλλάδος ὑπέρμαχος ὑπάρχει.

***Θεοτοκίον.***

Ὑπάρχοντα ἔγειρον, ἐκ βάθους με κακῶν, καὶ τοὺς πολεμοῦντάς με πολέμησον ἐχθροὺς τρωθεῖσαν ἀτόποις ἡδοναῖς τὴν ψυχήν, ἁγνή, μὴ παρίδῃς, ἀλλ' οἴκτιρον καὶ σῶσον αὐτήν.

Αὕτη ἡ κλητή.

***Ὠδὴ Θ'. Τὴν φωτοφόρον νεφέλην.***

Ἐὰν τύχῃ ἐν Κυριακῇ, ἡ μὲν τιμιωτέρα οὐ στιχολογεῖται, ψάλλονται δὲ τὰ μεγαλυνάρια τοῦ Πάσχα καὶ τοῦ ἁγίου μετὰ τῶν τροπαρίων.

Μεγάλυνον, ψυχή μου, τὸν ἐν Ἱεράρχαις Γρηγόριον τὸν μέγαν.

Ἄνωθεν πέμψον, Παμμάκαρ, τοῖς βασιλεῦσι τοῦ ἔθνους τὴν εὐλογίαν νῦν τὴν σήν, ὅπως μετὰ εἰρήνης, τοὺς χριστοφόρους εὐσεβῶν, λαοὺς ἀείποτε ποιμαίνωσιν, ὑπὲρ ὧν ἐν τῷ ξύλῳ κατεκρίθης, τῆς ἀγχόνης τε θανεῖν.

Μεγάλυνον, ψυχή μου, τὸν τῆς Ἐκκλησίας ὑπέρλαμπρον φωστῆρα.

Κατὰ τῶν νῦν δὲ ποθούντων τὴν τυραννίαν Ἑλλάδος, μὴ τὴν ἀρὰν τὴν σήν, σοφέ, βραδέως ἐκπέμψῃς, ὅπως βιοῦντες σὺν αὐτῇ, καὶ ἐν τῷ νῦν αἰῶνι καὶ τῷ μέλλοντι ὑποστῶσι τιμωρίας πρεπούσας, ὡς ἐχθροὶ τῶν εὐσεβῶν.

Μεγάλυνον, ψυχή μου, τὸν ἐξ Ἐρυμάνθου Γρηγόριον τὸν θεῖον.

Μεγάλυνον, ψυχή μου, τὸν κεκοσμηκότα τὸ ἔθνος τῶν Ἑλλήνων.

*Δόξα.*

Μεγάλυνον, ψυχή μου, τῆς τρισυποστάτου καὶ ἀδιαιρέτου Θεότητος τὸ κράτος.

Λοιπόν, κλεινὲ Πατριάρχα, αἴτησαι λύσιν δοθῆναι, ἁμαρτημάτων τῶν πολλῶν, καὶ ἐμοὶ τῷ σῷ λάτρει, ὅπως σῳζόμενος ὑμνῶ, τὸν μόνον ἕνα Θεὸν ἀχώριστον, ἐν τρισὶ τοῖς προσώποις, Πατέρα καὶ Υἱὸν σὺν Πνεύματι.

*Καὶ νῦν Θεοτοκίον.*

Μεγάλυνον, ψυχή μου, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας.

Ἁγνὴ τὸ φῶς ἡ τεκοῦσα, ἐσκοτισμένον με πάσαις ταῖς προσβολαῖς τοῦ πονηροῦ καὶ κακίαις ἁπάσαις, καὶ παροργίζοντα Θεόν, Πανάμωμε, φώτισον, ὁδηγοῦσα, πρὸς καλὰς ἐργασίας, ὡς αἰτία οὖσα πάντων τῶν καλῶν.

Ὁ ἄγγελος ἐβόα τῇ Κεχαριτωμένῃ.

*Ἐξαποστειλάριον*

**Ἐπεσκέψατο ἡμᾶς.**

Δόξαν δῶμεν οἱ πιστοί, τῷ ἐν προσώποις σὺν τρισί, μόνῳ Θεῷ Παμβασιλεῖ, τῷ ἐκλυτρώσαντι ἡμᾶς διὰ τῆς ἀναρτήσεως Πατριάρχου τοῦ θείου.



*δὶς καὶ τῆς ἑορτῆς ἅπαξ.*

***Εἰς τοὺς αἴνους*** πᾶσα πνοή.

***Ἦχος Δ'. Ὁ ἐξ ὑψίστου κληθείς.***

Ὁ ἀθλοφόρος καλούμενος ἀξίως, ὅτε ὁ Δεσπότης σε, μάκαρ Γρηγόριε, ὡς ἀγαθὸς προωρίσατο ποιμένα Θεῖον τῆς ἐκκλησίας αὐτοῦ, τότε τὴν πολύφωτον αἴγλην εἰσδέξασθαι τοῦ Παρακλήτου, δι' οὗ λαμπρύνας σὸν Ποίμνιον ἀντεβραβεύθης ὡς οἰκονόμος αὐτοῦ ἀκριβέστατος, ὃν ἱκέτευε σῶσαι καὶ ἐγεῖραι τὸ ἔθνος ἡμῶν.

Ὁ τετρωμένος ἀγάπῃ τῇ τελείᾳ, ὅτε ὁ οὐράνιος ἔρως ἀνέφλεγε σοῦ τὴν ψυχήν, Ἱερώτατε, ὡς κατεπεῖγον, Πάτερ, πορεύεσθαι, τότε τὸν ἀοίδιμον λόγον ἐβόησας· δοῦλος ὑπάρχω τοῦ Κτίσαντος, καὶ διὰ τοῦτο ὑπὸ χειρῶν ἀνόμων κτανθήσομαι, ἵνα τῷ λόγῳ ἀληθέστατος, οἰκονόμος φανῶ τῷ Θεῷ ἡμῶν, ὃν ἱκέτευε σῶσαι καὶ λυτρῶσαι τὸ ἔθνος ἡμῶν.

Συνεσταυρώθης Χριστῷ, Ἱερομάρτυς, ὅτε τὸν θεόπνευστον λόγον ἀνέκραξας, τὸ ἐμὸν γένος ἐκπέπτωκε καὶ διὰ τοῦτο πόθῳ ἐγεῖραι αὐτὸ βούλομαι· ἐντεῦθεν, Γρηγόριε, ὡς Μωϋσῆς τε διέδραμες ἐκ γῆς Ἑλλήνων εἰς Βασιλεύουσαν καὶ μαρτυρίου διαδήματι ἐκοσμήθης Χριστῷ προσαγόμενος· ὃν ἱκέτευε σῶσαι καὶ ὑψῶσαι τὸ γένος ἡμῶν.

***Δόξα. Ἦχος α'.***

Τὸν Οἰκουμενικὸν Πατριάρχην Γρηγόριον, τὸν ὑπὲρ τῆς εὐσεβείας γενναίως ὑπεραθλήσαντα, δεῦτε πιστοὶ εὐφημήσωμεν λέγοντες· χαίροις, ὦ ψυχὴ ἀδαμάντινε καὶ γενναιότατε θεῖε ἀνερ· χαίροις ὁ ὑπὲρ τοῦ ποιμνίου θυσιασθείς· χαίροις τῆς Ἑλλάδος τὸ καύχημα, καὶ τῶν Ὀρθοδόξων τὸ ἀγλάϊσμα, ἐκτενῶς οὖν ἱκέτευε ὑπὲρ τοῦ γένους ἡμῶν.

***Τῆς ἑορτῆς.***

***Καὶ νῦν. Ἀναστάσεως ἡμέρα.***

## *Δοξολογία μεγάλη* καὶ ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν τὰ τυπικὰ καὶ ἐκ τοῦ κανόνος ᾠδὴ γ′ καὶ ς′.

Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Χρυσοστόμου.

### *Μεγαλυνάρια.*

Βασιλεὺς παράνομος τὸν κλεινόν, κρεμᾷ Πατριάρχην, ἐν τῷ ξύλῳ παραφρονῶν· βασιλεὺς δὲ πάλιν, θεοφιλής τε τοῦτον δεχόμενος κηδεύει, ἐν γῇ ὁμοδόξῳ.

Τῆς Πελοποννήσου θεῖος βλαστὸς καὶ τῆς ὀρθοδόξου Ἐκκλησίας ὁ θησαυρὸς καὶ πάσης Ἑλλάδος τὸ καύχημα τὸ μέγα πατριαρχῶν τὸ κλέος, μάκαρ Γρηγόριε.

Δεῦτε εὐφημήσωμεν οἱ λαοὶ τὸν θεῖον Ποιμένα καὶ ὑπέρμαχον τῶν πιστῶν, τὸν ὑπὲρ τοῦ ἔθνους καὶ τῆς Ὀρθοδοξίας ἐν ξύλῳ κρεμασθέντα, ὡς ὁ Δεσπότης ἡμῶν.